κειται δὲ ἰσάκις πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ
ΓΔ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΒ ἑκατέρου τῶν
ΗΖ ΓΔ· ἴσον ἄρα τὸ ΗΖ τῷ ΓΔ· κοινὸν ἀφῃρήσθω τὸ ΓΖ·
λοιπὸν ἄρα τὸ ΗΓ λοιπῷ τῷ ΔΖ ἴσον ἐστί· καὶ ἐπεὶ ἰσά-
κις ἐστὶ πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΗΓ· ἴσον
δὲ τὸ ΗΓ τῷ ΔΖ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΕ
τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΖΔ· ἰσάκις δὲ ὑπόκειται πολλαπλά-
σιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΓΔ· ἰσάκις ἄρα ἐστὶ πολ-
λαπλάσιον τὸ ΕΒ τοῦ ΖΔ καὶ τὸ ΑΒ τοῦ ΓΔ· καὶ λοιπὸν
ἄρα τὸ ΕΒ λοιποῦ τοῦ ΖΔ ἰσάκις ἔσται
πολλαπλάσιον. ὁσαπλάσιόν ἐστι τὸ ὅλον
τὸ ΑΒ ὅλου τοῦ ΓΔ· ἐὰν ἄρα μέγεθος
μεγέθους ἰσάκις ᾖ πολλαπλάσιον.
ὅπερ ἀφαιρεθὲν ἀφαιρεθέντος, καὶ
τὸ λοιπὸν τοῦ λοιποῦ ἰσάκις ἔσται πολ-
λαπλάσιον. ὁσαπλάσιόν ἐστι καὶ τὸ ὅλον
τοῦ ὅλου. ὅπερ ἔδει δεῖξαι:-

ς

Ἐὰν δύο μεγέθη δύο μεγεθῶν ἰσάκις ᾖ πολλαπλάσια.
καὶ ἀφαιρεθέντα τινὰ τῶν αὐτῶν ἰσάκις ᾖ πολλα-
πλάσια. καὶ τὰ λοιπὰ τοῖς αὐτοῖς ἤτοι ἴσα ἐστὶν ἢ ἰ-
σάκις αὐτῶν πολλαπλάσια. δύο γὰρ μεγέθη τὰ
ΑΒ ΓΔ δύο μεγεθῶν τῶν Ε Ζ ἰσάκις ἔστω πολλαπλά-
σια. καὶ ἀφαιρεθέντα τὰ ΑΗ ΓΘ τῶν αὐτῶν τῶν Ε Ζ
ἰσάκις ἔστω πολλαπλάσια. λέγω ὅτι καὶ λοιπὰ τὰ
ΗΒ ΘΔ τοῖς Ε Ζ ἤτοι ἴσα ἐστὶν ἢ ἰσάκις αὐτῶν πολλα-
πλάσια. ἔστω γὰρ πρότερον τὸ ΗΒ τῷ Ε ἴσον. λέγω

ὅτι καὶ τὸ ΘΔ τῷ Ζ ἴσον ἐστί. κείσθω γὰρ τῷ Ζ ἴσον τὸ ΓΚ·
ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΗ τοῦ Ε καὶ τὸ ΓΘ τοῦ
Ζ. ἴσον δὲ τὸ μὲν ΗΒ τῷ Ε, τὸ δὲ ΚΓ τῷ Ζ· ἰσάκις ἄρα
ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Ε καὶ τὸ ΚΘ τοῦ Ζ· ἰσάκις δὲ
ὑπόκειται πολλαπλάσιον τὸ ΑΒ τοῦ Ε καὶ τὸ ΓΔ τοῦ Ζ· ἰ-
σάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΚΘ τοῦ Ζ καὶ τὸ ΓΔ τοῦ Ζ.
ἐπεὶ οὖν ἑκάτερον τῶν ΚΘ ΓΔ τοῦ Ζ ἰσάκις ἐστὶ πολ-
λαπλάσιον. ἴσον ἄρα ἐστὶ τὸ ΚΘ τῷ ΓΔ· κοινὸν ἀ-
φῃρήσθω τὸ ΓΘ· λοιπὸν ἄρα τὸ ΚΓ λοιπῷ τῷ ΘΔ
ἴσον ἐστίν· ἀλλὰ τὸ Ζ τῷ ΚΓ ἐστὶν ἴσον. καὶ τὸ ΘΔ ἄρα
τῷ Ζ ἴσον ἐστίν· ὥστε εἰ τὸ ΗΒ τῷ Ε ἴσον ἐστί, καὶ τὸ ΔΘ
ἴσον ἔσται τῷ Ζ. ὁμοίως δὴ δείξομεν ὅτι κἂν πολλα-
πλάσιον ᾖ τὸ ΗΒ τοῦ Ε, τοσαυταπλά-
σιον ἔσται καὶ τὸ ΘΔ τοῦ Ζ. ἐὰν ἄρα δύο
μεγέθη δύο μεγεθῶν ἰσάκις ᾖ πολ-
λαπλάσια. καὶ ἀφαιρεθέντα τινὰ
τῶν αὐτῶν ἰσάκις ᾖ πολλαπλάσια. καὶ
τὰ λοιπὰ τοῖς αὐτοῖς ἤτοι ἴσα
ἐστὶν ἢ ἰσάκις αὐτῶν πολλαπλά-
σια. ὅπερ ἔδει δεῖξαι:-

ζ

Τὰ ἴσα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον. καὶ τὸ αὐτὸ πρὸς
τὰ ἴσα. ἔστω ἴσα μεγέθη τὰ Α Β. ἄλλο δέ τι ὃ ἔτυχεν
μέγεθος τὸ Γ. λέγω ὅτι ἑκάτερον τῶν Α Β πρὸς τὸ Γ
τὸν αὐτὸν ἔχει λόγον. καὶ τὸ Γ πρὸς ἑκάτερον τῶν Α Β.
εἰλήφθω γὰρ τῶν Α Β ἰσάκις πολλαπλάσια τὰ Δ Ε.
τοῦ δὲ Γ ἄλλο ὃ ἔτυχε πολλαπλάσιον τὸ Ζ. ἐπεὶ οὖν

